Ἐγχανοῦνται.] id est, καταγελάσουσι, Quasi dicas inhiabunt quod in cachinno vsuuenit. Est autem ἀ-A ψάλακτος, idem quod ἀτιμώρητος vel ἄθικτος.

Ἓξ ἐτῶν ἄλουτος.
Οὕτω δ' ἐπολιόρκησ' ἐγὼ τὸν ἄνδρ' ἐκεῖνον ὅμως
Ἐφ' ἑπτακαίδεκ' ἀσπίδων πρὸς ταῖς πύλαις καθεύδων.
Τασδὶ δὲ τὰς Εὐριπίδῃ, θεοῖς τε πᾶσιν ἐχθρὰς
Ἐγὼ οὐκ ἄρα σχήσω παρὼν τολμήματος τοσούτου.
Μή νυν ἔτ' ἐν Τετραπόλει τοὐμὸν τρόπαιον εἴη.
Ἀλλ' αὐτὸ γάρ μοι τῆς ὁδοῦ
Λοιπόν ἐστι χωρίον
Τὸ πρὸς πόλιν τὸ σιμὸν οἷ σπουδὴν ἔχω.
Χ' ὅπως ποτ' ἐξαμπρεύσωμεν
Τοῦτ' ἄνευ κανθηλίου.
Ὡς ἐμοῦ γε τὼ ξύλω τὸν ὦμον ἐξεπιώκατον.
Ἀλλ' ὅμως βαδιστέον
Καὶ τὸ πῦρ φυσητέον
Μήμ' ἀποσβεσθὲν λάθῃ πρὸς τῇ τελευτῇ.
Φῦ. φῦ.
Ἰοὺ ἰοὺ τοῦ καπνοῦ
Ὡς δεινὸς ὦναξ Ἡράκλεις
Προσπεσὼν μ' ἐκ τῆς χύτρας.
Ὥσπερ κύων λυττῶσα τὠφθαλμὼ δάκνει.
Κἄστιν Λήμνιον τὸ πῦρ
Τοῦτο πάσῃ μηχανῇ.
Οὐδὲ γὰρ ποθ' ὧδ' ὀδὰξ ἔβρυκε τὰς λήμας ἐμοῦ.
Σπεῦδε πρόσθεν ἐς πόλιν
Καὶ βοήθει τῇ θεῷ
Εἴποτ' αὐτῇ μᾶλλον ἢ νῦν ὦ Λάχης ἀρήξομεν.
Φῦ. φῦ.
Ἰοὺ ἰοὺ τοῦ καπνοῦ.

*Sex onustus annos.*
*Certè virum illum obsedi ego expugnans licet cubarem ad*
*Portas super septemdecim scutis sopore vinctus:*
*Hostes sed has Euripidæque & omnium deorum*
B *Non ergo præsens reprimam ferociámque tantã,*
*Ne rursus in Tetrapoli prostet meum trophæum?*
*Sed restat accliuis mihi*
*Tractus hic adhuc viæ*
*Vt vrbs petatur auia quo mens aduolat:*
*An hocce protelum pote vt*
*Absque iumento traham?*
*Tam mihi sunt pressa colla ligni iniquo pōdere.*
*Metiendum iter tamen,*
C *Atque flandus ignis est.*
*Ne mihi exstinguatur ille incogitanti.*
*Fufu*
*Fafæ fafæ, vah fumus*
*Quàm sæuus ô Rex Hercules.*
*Qui mihi ex olla accidens*
*Oculos momordit acta vt in rabiem canis*
*At certè omnibus modis*
*Ignis iste est Lemnius*
D *Non enim sic mordicus lemas meas inuaderet.*
*Occupa vrbem concitus*
*Ocyus fer Diuæ opem*
*Si quid in nobis opis sit, ô Laches, nunc quum expetit.*
*Fufu.*
*Fafæ fafæ acer fumus.*

BISETUS. Ἓξ ἐτῶν ἄλουτος] τινὲς οἷον γράφουσιν ἓξ ἐτῶν ἄλουτος χαπλέον, καὶ πολλῶν ὑπακουστέον. ἀλλὰ καὶ παρὰ τῷ Σουίδᾳ ἓξ δασυνόμενον γράφεται. ἀντὶ τοῦ, ἓξ ἔτη ἄλουτος ἔμεινεν. παρατήρει δὲ τὴν τοῦ χρόνου σύνταξιν οὐ μόνον αἰτιατικῇ, ἀλλὰ καὶ δοτικῇ, καὶ γενικῇ χαίρειν ὡς ἐνταῦθα, καὶ ἐν Εἰρήνῃ ἐν τῷ „Μὴ βδεῖτε, μηδὲ χέζεθ' ἡμερῶν τριῶν. Τὰς Εὐριπίδῃ] Εὐριπίδῃ γυναῖκας ἐχθρὰς καλεῖ, ὅτι ὁ Εὐριπίδης αὐτὰς τραγῳδεῖ, καὶ κωμῳδεῖ. Σχήσω παρὼν] ἀντὶ τοῦ κατασχήσω, καθέξω, καὶ τοιαῦτα τολμώσας παύσω. Τολμήματος δὲ, τὸ πλῆρες ἕνεκα τοσούτου τολμήματος, ἤγουν τοσαύτης τόλμης, καὶ ἔργου τοσοῦτον τολμηροῦ. τόλμημα γὰρ, τὸ ἔργον τόλμης ἔμπλεον. ἢ καθάπερ λέγομεν παύειν τινὰ ἀρχῆς, καὶ τινὸς ἀρχήν, οὕτω καὶ σχεῖν, καὶ σχῆσαί τινα τολμήματος, καὶ τινὸς τόλμημα σχεῖν. τοῦτο πιθανώτερον. Μή νυν] τὸ νῦν παρέλκει. καὶ γὰρ παραπληρωματικὸν μόριον. τετράπολιν δὲ καλεῖ, τὸ τῆς Ἀττικῆς ἔχουσαν δήμους, καὶ πόλεις τέτταρας. Οἰνόην, Προβάλινθον, Τρικόρυθον, καὶ Μαραθῶνα. Στέφ. Τὸ σιμόν.] νῦν τὸ σιμὸν καλεῖ τὸν προσάντη τόπον. καὶ ἐν Βαβυλωνίοις, ὁ αὐτὸς Ἀριστοφάνης κατὰ Σουίδαν λέγει, Μέσην ἔρειδε πρὸς τὸ σιμὸν, καὶ πλατύ. οἷ σπουδὴν ἔχω, εἰς ὃν τόπον σπεύδω. Ἐξαμπρεύσωμεν] ἀντὶ τοῦ ἕλξωμεν τὸ ξύλον ἄνευ ὄνου. ἄμπρον σχοινός τις, μεθ' οὗ εἰώθασιν ἕλκειν, ἤτοι παρακομίζειν μεγάλα φορτία. ἀμπρεύειν δὲ κυρίως τὸ μετὰ ἁμάξης πορεύεσθαι. καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν νωτοφόρων ζώων λαμβάνεται. ἢ ἀμπρεύειν, τὸ τῷ ἕλκοντι ζεύγει βοηθεῖν. καὶ ἄμπρον σχοινίον, ὅπερ διὰ τῶν ζευγῶν διατείνουσι, καὶ φορτία ἐφ' ἁμάξης κομίζουσιν, ὥστε ὁμοτόνως ἀπὸ τῶν ζυγῶν ἕλκεσθαι. ἄμπηρόν τι ὄν, τὸ διαπερῶν τὸν ζυγὸν δεδεμένον. Σουίδ. Ἐξεπιώκατον] θλίβουσιν, ἢ ἔθλιψαν. Σ. τοῦτο δὲ σύγκειται ἐκ προθέσεων ἐξ, καὶ ἐπὶ, καὶ τοῦ ῥήματος ὠθέω, ῶ. ὠθήσω, καὶ ὤσω. ὁ παρακείμενος ὦκα, ας, ε. ἀχρηστότερον ἁπλῶς, ὡς παρὰ τὸ ὤθω. τὸ δὲ δυϊκὸν, ὤκατον. ὡς τετύφατον. καὶ μετὰ τῶν ἄνω προθέσεων, ἐξεπιώκατον, ἀντὶ τοῦ τεθλίφατον. νῦν δὲ ἀντὶ τοῦ ἐθλιψάτην, ἢ ἔθλιψαν ληπτέον. αἱ δὲ προθέσεις αὗται ἐπιτάσεως δύναμιν ἐνταῦθα δηλοῦσιν, ἤγουν βαρέως πιέζουσιν, ἢ σφόδρα βαροῦσι. τῇ τελευτῇ δὲ, δηλονότι τῆς ὁδοῦ, τῆς πορείας. Φῦ, φῦ] φωνὴ πεπλασμένη πρὸς τὸ σαφέστερον δηλοῦν τὴν μίμησιν ἀνθρώπου πῦρ φυσῶντος, καὶ τῷ πνεύματι ἀνεγείροντος, καὶ ἀναζωπυροῦντος, ὃς ἐν τῷ φυσᾶν τοιοῦτον ἦχον ποιεῖ, φῦ, φῦ. καὶ Σουΐδας ἐν τῷ Ἐποποῖ τούτων μνημονεύων οὕτω λέγει, φῦ φῦ, ἐπὶ τοῦ φυσῶντος τὸ πῦρ. Ἐντεῦθεν δὲ ῥᾴδιόν ἐστι τεκμαίρεσθαι, ποία τις ἦν ποτε ἡ παλαιὰ, ἤτοι γνησία καὶ ἀληθινὴ προφορὰ τοῦ φωνήεντος υ. ὅπερ νῦν ὑπὸ πολλῶν καὶ τῶν ἐμπείρων, καὶ εὐπαιδεύτων ἀνδρῶν, ὡς ι κακῶς, καὶ διεφθαρμένως ἐκφωνεῖται. Κἄστιν] καὶ ἔστιν. ἐν Λήμνῳ δὲ πυρὸς ἀναφορὰ χαλεπή τις ἦν. διὸ πῦρ Λήμνιον καλεῖ. Σ. Ἔβρυκε.] βρύκειν τὸ λαύρως ἐσθίειν. ἀπὸ τοῦ τρύζειν τοὺς ὀδόντας. οἱ δὲ μασᾶσθαι. λήμη δὲ λευκὸν ὑγρὸν ἐν ὀφθαλμοῖς συνα-